6 ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς,
καὶ ὅπου χεῖρες πολλαί, κλεῖσον·
7 ὃ ἐὰν παραδιδῷς, ἐν ἀριθμῷ καὶ σταθμῷ,
καὶ δόσις καὶ λῆμψις, πάντα ἐν γραφῇ·
8 περὶ παιδείας ἀνοήτου καὶ μωροῦ
καὶ ἐσχατογήρως κρινομένου πρὸς νέους·
καὶ ἔσῃ πεπαιδευμένος ἀληθινῶς
καὶ δεδοκιμασμένος ἔναντι παντὸς ζῶντος.
9 Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία,
καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον·
ἐν νεότητι αὐτῆς, μήποτε παρακμάσῃ,
καὶ συνῳκηκυῖα, μήποτε μισηθῇ·
10 ἐν παρθενίᾳ, μήποτε βεβηλωθῇ
καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται·
μετὰ ἀνδρὸς οὖσα, μήποτε παραβῇ,
καὶ συνῳκηκυῖα, μήποτε στειρωθῇ.
11 ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν,
μήποτε ποιήσῃ σε ἐπίχαρμα ἐχθροῖς,
λαλιὰν ἐν πόλει καὶ ἔκκλητον λαοῦ,
καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν.
12 παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει
καὶ ἐν μέσῳ γυναικῶν μὴ συνέδρευε·
13 ἀπὸ γὰρ ἱματίων ἐκπορεύεται σὴς
καὶ ἀπὸ γυναικὸς πονηρία γυναικός.
14 κρείσσων πονηρία ἀνδρὸς ἢ ἀγαθοποιὸς γυνή,
καὶ γυνὴ καταισχύνουσα εἰς ὀνειδισμόν.
15 Μνησθήσομαι δὴ τὰ ἔργα κυρίου,
καὶ ἃ ἑόρακα, ἐκδιηγήσομαι·
ἐν λόγοις κυρίου τὰ ἔργα αὐτοῦ.
16 ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψεν,
καὶ τῆς δόξης κυρίου πλῆρες τὸ ἔργον αὐτοῦ.
17 οὐκ ἐξεποίησεν τοῖς ἁγίοις κυρίου
ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ,
ἃ ἐστερέωσεν κύριος ὁ παντοκράτωρ
στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν.

7[1] παραδως S† | 7[2] παντι B† || 8[2] εσχατογηρως B†] -ρους S†, -ρω A, -ρου V: cf. 41 2 Thack. § 12, 3 | κρινομενω A || 9[2] αυτου A† | 9[4] συνωκ.] + ανδρι S[c]† || 10[3]] pr. και S | 10[4] στειρωση B† || 11[1] αδιαστρεπτω SV†: cf. 26 10 | 11[4] καταισχυνει BA || 15[1] δη] δε B† | 15[3]] + και γεγονεν εν ευλογια αυτου κριμα S[c]† || 16[2] κυριου] αυτου BS*† | πληρης BS: cf. Thack. p. 177 || 17[1] εξεποιησεν Sm. (cf. 18 4)] ενεπ. mss.: cf. 39 11 | κυριου S†] αυτου V†, κυριος rel. | 17[2]] pr. και S*† | 17[4] στηρισθηναι V†: cf. 15 4

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/455 UNIVERSITÄT LEIPZIG